**ἀντισπαστικὴ συζυγία / antispastica syzygia (coniugatio)**

Hephaest. 31. 16 sqq. τὸ ἀντισπαστικὸν τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα, τὰς δ᾽ ἐν μέσῳ καθαρὰς ἀντισπαστικάς, τὴν δὲ τελευταίαν, ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν.

Hephaest. 32. 21 sqq. τῶν δὲ τριμέτρων (*scil.* ἀντισπαστικῶν) τὸ μὲν καταληκτικὸν τὸ μόνην τὴν πρώτην (*scil.* συζυγίαν) ἀντισπαστικὴν ἔχον, τὰς δὲ ἑξῆς ἄλλας ἰαμβικὰς Φαλαίκειον καλεῖται, οἷον· (Cratin. 359 [PCG IV, p. 296] Kassel-Austin)

χαῖρ᾽ ὦ χρυσόκερως βαβάκτα κήλων,
Πάν, Πελασγικὸν Ἄργος ἐμβατεύων·

τὸ δὲ ἀκατάληκτον τὸ μόνην τὴν τελευταίαν ἔχον ἰαμβικὴν καλεῖται Ἀσκληπιάδειον, οἷον τὸ Ἀλκαίου· (fr. 350. 1 sq. Voigt)

ἦλθες ἐκ περάτων γᾶς, ἐλεφαντίναν
λαβὰν τῶ ξίφεος χρυσοδέταν ἔχων·

τὸ δὲ μέσην μὲν ἔχον τὴν ἀντισπαστικήν, τρεπομένην κατὰ τὸν ἕτερον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα, ἑκατέρωθεν δὲ τὰς ἰαμβικάς, ὧν ἡ πρώτη καὶ ἀπὸ σπονδείου ἄρχεται, ἀλκαικὸν καλεῖται δωδεκασύλλαβον, οἷον· (Alc. 386 Voigt)

κόλπῳ σ᾽ ἐδέξανθ᾽ ἁγναὶ Χάριτες Κρόνῳ.

τῶν δὲ τετραμέτρων τὸ μὲν καταληκτικὸν καθαρόν ἐστι τὸ τοιοῦτον· (Sapph. 140 Voigt)

κατθνάσκει Κυθέρη᾽ ἅβρὸς Ἄδωνις· τί κε θεῖμεν;
καττύπτεσθε κόραι καὶ κατερείκεσθε χιτῶνας·

τὸ δὲ τὴν δευτέραν ἰαμβικὴν ἔχον καλεῖται πριάπειον, οἷον· (Anacr. 28 [PMG 373] Page)

ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,
οἴνου δ᾽ ἐξέπιον κάδον· νῦν δ᾽ ἁβρῶς ἐρόεσσαν
ψάλλω πηκτίδα, τῇ φίλῃ κωμάζων † παιδὶ ἁβρῇ.

πολυσχημάτιστον μὲν οὖν αὐτὸ ποιοῦσιν, ἀλλὰ τό γε καθαρῶς ἐσχηματισμένον ἐστὶ τοιοῦτον. ἔστι δὲ πυκνὸν καὶ τὸ τὴν δευτέραν μόνην ἀντισπαστικὴν ἔχον, ᾧ μέτρῳ ἔγραψεν ᾄσματα καὶ Σαπφὼ ἐπὶ † τῆς τοῦ ἑβδόμου· (fr. 102 Voigt)

γλυκῆα μᾶτερ, οὔ τοι δύναμαι κρέκην τὸν ἴστον
πόθῳ δαμεῖσα παιδὸς βραδίναν δι᾽ Ἀφροδίταν.

Hephaest. 44. 12 sqq. τοῦτο μὲν οὖν (*scil.* τὸ ἑνδεκασύλλαβον) ἀπὸ τροχαικῆς ἐστὶν ἐπιχοριαμβικόν, ἀπὸ δὲ ἀντισπαστικῆς τὸ καλούμενον πινδαρικὸν ἑνδεκασύλλαβον, ὃ τὴν μὲν πρώτην ἀντισπαστικὴν ἔχει, τὰ δὲ λοιπὰ ὁμοίως τῷ σαπφικῷ χοριαμβικὴν καὶ ἰαμβικὴν κατάκλειδα, οἷον· (Pind. fr. 94c. 1 Snell-Mahler)

ὁ Μουσαγέτας με καλεῖ χορεῦσαι

(Pind. fr. 94c. 3 Snell-Mahler)

ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ.

Trich. 390. 2 sqq. τὸ ἀκατάληκτον δὲ τρίμετρον (*scil.* ἀντισπαστικόν), ὅταν τὴν τελευταίαν (*scil.* συζυγίαν) μόνην ἔχῃ ἰαμβικήν, τὰς πρὸ αὐτῆς δὲ δύο ἀντι-

σπαστικάς, ἀσκληπιάδειον λέγεται οἷον·

ἀφεγγέσσι φαείνοισα, κέλευθον αὖ.

πολλῷ δὲ τῷ τοιούτῳ καὶ Ἀλκαῖος χρῆται.

Tzetz. *de metris Pind.* 28. 23 sqq.

λέξομεν δ᾽ ἀντισπαστικοῦ πέρι βραχέα ἄττα.
ἀντίσπαστον ἐμάνθανες, τὸν καθαρόν σοι λέγω,
ἔκ τε βραχείας καὶ μακρᾶς, μακρᾶς τε καὶ βραχείας,
δύο ποδῶν συγκείμενον εἰς μίαν συζυγίαν.
τοίνυν ὁ πρῶτος τρέπεται ποὺς ἀντισπαστικοῦ μέτρου,
κατά τε συζυγίαν δὲ τὴν πρώτην μόνην λέγω,
εἰς σχήματα τὰ τέσσαρα ποδὸς τοῦ δισυλλάβου,
τροχαῖόν τε καὶ ἴαμβον, πυρρίχιον, σπονδεῖον.
αἱ δ᾽ ἄλλαι συζυγίαι σοι μενέτωσαν ὡς ἔχει
καθαραὶ ἀντισπαστικαὶ ὅσαι εἰσὶν ἐν κώλῳ.
οὕτως εἰ ἔστι καθαρὰ ἀντισπαστικὰ μόνως.

Tzetz. *de metr. Pind.* 35. 12 sqq.

ὅτε τὸ μέτρον (*scil.* τὸ ἰωνικόν) τίθεται ἢ καθαρόν, ὡς ἔφην,
ἢ δέχεται καὶ πρέπουσαν πρὸς ἄλλας συζυγίας
μῖξιν, ὥσπερ χορίαμβος πρὸς τὰς ἰαμβικάς γε
ἢ πάλιν πρὸς τροχαικὰς ἰωνικὸν ὑπάρχει,
ἢ καὶ πρὸς ἀντισπαστικὰς ἰαμβικὸν τελέθει,
μονοειδές, ὁμοειδὲς τότε τὸ μέτρον ἔστιν.

Tzetz. *de metr. Pind.* 83. 3 sqq.

ἀλλάγε ἀντισπαστικὴν πρώτην (*scil.* συζυγίαν) τὸ τοῦ Πινδάρου (*scil.* ἑνδεκασύλλαβον)
κρηπῖδα ὥσπερ κέκτηται, χορίαμβον δευτέραν,
καὶ τρίτην τὴν κατάκλειδα ἴαμβον συλλαβήν τε.
τὸ δέ γε πάλιν σαπφικὸν ὅμοια πάντα ἔχει,
τὴν πρώτην δὲ διάφορον, οὐκ ἀντισπαστικὴν γάρ,
ἀλλά τινα τροχαικὴν ἑπτάσημον καὶ μᾶλλον,
ἤγουν ἁπλῆ, συζυγίαν τροχαίου καὶ σπονδείου.
ὅθεν καὶ σκόπησον ὡδὶ ἐν τουτῳὶ τῷ κώλῳ·
εἰ εὕροις ἀντισπαστικὴν τὴν πρώτην, ἔχε τοῦτο
πινδαρικὸν ὡς εἴπομεν· εἰ δὲ τροχαικήν τε,
καθὰ καὶ ἔστι, σαπφικὸν λέγε τὸ κῶλον τοῦτο.

Tzetz. *de metr. Pind.* 88. 17 sqq.

καλεῖται δὲ φαλάκειον, οὗ Φάλαικος γεννήτωρ.
τὸ δ᾽ ἔχον ἀντισπαστικὴν τὴν μόνην πρώτην (*scil.* συζυγίαν) μέτρον,
τὰς ἄλλας δὲ ἰαμβικὰς κτλ.

Tzetz. *de metr. Pind.* 122. 8 sqq.

τὸ ἕβδομον πινδαρικὸν ἐκ σαπφικοῦ δὲ ἔστι·
ἡ πρώτη (*scil.* συζυγία) γὰρ τροχαική, οὐκ ἀντισπαστική τις.
ἔστι δ᾽ ἑνδεκασύλλαβον καὶ τέλειον τὸ μέτρον.

Epit. Hephaest. 360. 23 sqq. τὸ ἀντισπαστικὸν (*scil.* μέτρον) τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς τὰ τέσσαρα σχήματα τὰ δισύλλαβα, τὰς δ᾽ ἐν μέσῳ καθαρὰς ἀντισπαστικάς, τὴν δὲ τελευταίαν, ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν. ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς, οὐ μόνην τὴν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα, ἀλλὰ καὶ <τὴν> ταῖς ἰαμβικαῖς ἑπομένην. ἔστι δὲ ὅτε καὶ λύεται ὁ πρότερος ποὺς εἰς τρίβραχυν.

Schol. rec. in Pind. *Ol.* 1 (p. 47. 12 sqq. Abel) τὸ ις´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ ἀναπαίστου. καλεῖται δὲ τοῦτο φαλαίκειον, ὅτε τὴν μὲν α´ (*scil.* συζυγίαν) ἔχει ἀντισπαστικήν, τὰς δὲ λοιπὰς ἰαμβικάς. ἐνταῦθα δὲ ἀντιπαθής ἐστιν ἡ μῖξις αὐτοῦ.

Schol. rec. in Pind. *Ol.* 9 (p. 310. 9 sqq. Abel) τὸ γ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται φαλαίκειον. Φάλαικος γὰρ τούτου εὑρετής. ἔχει δὲ τὴν μὲν α´ συζυγίαν ἀντισπαστικὴν ἢ καθαρὰν ἢ τρεπομένην εἰς τὰ δ´ τοῦ δισυλλάβου σχήματα, ὡς Ἡφαιστίων (p. 31. 16 sqq.) φησί, τὴν δὲ β´ ἰαμβικήν, τὴν δὲ τελευταίαν ἀδιάφορον ἢ τροχαικὴν ἢ ἰαμβικήν.

Schol. rec. in Pind. *Ol.* 14 (p. 422. 10 sqq. Abel) τὸ ι´ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἀσκληπιάδειον, ἐκ τροχαικῆς καὶ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας.

Schol. rec. in Pind. *Ol.* 14 (p. 422. 19 sqq. Abel) τὸ ιδ´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον ἐξ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας.

Schol. A in Hephaest. 141. 4 sqq. τὸ ἀντισπαστικὸν (*scil.* μέτρον) δέχεται τὸν πρῶτον πόδα ἀντίσπαστον ἢ ἐπίτριτον τέταρτον ἢ παίωνα <τρίτον> ἢ διτρόχαιον, τὰς δὲ μέσας (*scil.* συζυγίας) ἀντισπαστικὰς καὶ ἰαμβικάς, τὴν δὲ τελευταίαν, ὅτε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν, [ὅτε δὲ καταληκτικόν] τὴν ταῖς ἰαμβικαῖς ἑπομένην συζυγίαν τρεπομένην κατὰ τὸν πρῶτον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα.

Schol. A in Hephaest. 144. 4 sqq. ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται ἀλκαικὸν δωδεκασύλλαβον, ποδῶν ἁπλῶν ἕξ, τῆς μέσης (*scil.* συζυγίας) μόνης ἀντισπαστικῆς οὔσης, ἑκατέρωθεν δὲ ἰαμβικῆς· ἀπὸ σπονδείου ἤρξατο τοῦ ‘κόλπῳ’, ἡ μέση δὲ ἀντισπαστικὴ καὶ αὐτὴ ἀδιάφορον ἔχουσα τὸν πρῶτον πόδα· σπονδεῖος γάρ.

Apthon. GL VI 88. 34 sqq. quae admixta sunt iambicis coniugationibus antispastica et iucundiora sunt et sonora, quod accidere etiam in choriambicis versibus diximus quadam iamborum pedum quasi coniugatione coniuncta, veluti trimetrum catalecticum, quod solam habeat primam coniugationem antispasticam, pars autem eius residua iambico dimetro catalectico suppleatur, ut:

libens hoc tibi < … > persolvo, amare nolo quemquam.

Apthon. GL VI 102. 9 sqq. dicemus igitur de mixtis ac mutua conexione sociatis metrorum generibus, quorum bifariam ratio dispergitur. namque alia consentanea et veluti cognata inter se ratione iunguntur, alia ex dissidenti ac contraria, quae Graeci κατὰ συμπάθειαν καὶ ἀντιπάθειαν appellant. erunt ergo per συμπάθειαν, id est per consentaneum adfectum, mixtae inter se iambicae bases choriambicis et antispasticis.

Apthon. GL VI 130. 11 sqq. ponamus enim exempli causa choriambicum trimetrum hypercatalectum, non ex solis choriambis, sed [ad]mixtum, ut sit prima quidem coniugatio diiambus, secunda choriambus, tertia diiambus et syllaba, quando hypercatalectum est, ut est:

caduca popli coma glauca iam per agros …

24 sqq. contra autem eidem versui si brevem syllabam initio adiungas, pro ionico faciet antispasticum metrum, et pro admixtione trochaica facit iambicam, et fit versus antispasticus tetrametrus catalecticus secundam tantum habens antispasticam coniugationem, quae fuit prius ionica, ut est:

volat caduca popli coma glauca iam per agros;

et erit similis huic sapphico:

aprica veris aura est, ubi flore rura lucent.

Atil. Fortvn. GL VI 293. 6 sqq. ecce et phalaecium metrum partem primam de antispastico metro habet, sequentem de iambico, ut: (Catull. 2. 1)

passer deliciae meae puellae.

nam prima syzygia antispastica est, at vero pars sequens, ‘ciae meae puellae’, dimetrum iambicum catalecticum habet. [*P.S.*]